K 498



ρᾶν ταύτην ἐβουλεύσαντο κατ' αὐτοῦ σφῶν μελέτην. καὶ μάρτυς ἡ τῶν ἱερῶν εὐαγγελίων ἱστορία διδάσκουσα· ὡς ἐξελθόντες οἱ φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν ἀπολέσωσιν· καὶ ὁ καϊάφας συνεβούλευσε συμφέρειν ἕνα ἄνθρωπον ἀποθανεῖν καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται· τὸ δὲ ἐφρύαξαν· ὁ μὲν ἀκύλας, ἐθορυβήθησαν· ὁ δὲ σύμμαχος ἐκύκησαν, ἡρμηνεύκασιν· τοῦτο δὲ τὸ τῶν ἐθνῶν πρόσωπον προσκείμενον· ὑπὸ κατηγορίας τῶν ἰουδαίων τῷ πιλάτῳ· τὸν ἰησοῦν τὸν ἀληθῶς ... προσαγαγόντων. καὶ δὴ αὐτὸν ἀναιρεθῆναι πολλάκις αἰτησάντων. ἀλλ' ἐκεῖνος τὴν θανατηφόρον ἐξενεγκὼν ψῆφον· δείσας ὡς ἄκων ἀπολύσαι, μή τις ἐν τῷ ἔθνει γραφὴ κατ' αὐτοῦ τυρευθῇ· ὡς γὰρ ὁ μακάριος ἔφη λουκᾶς. κατηγοροῦν αὐτοῦ λέγοντες, τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα καίσαρι φόρους διδόναι, λέγοντα ἑαυτὸν χριστὸν βασιλέα εἶναι:

Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν· καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν:—

Ὁ γὰρ μὴ τιμῶν φησὶ τὸν υἱόν, οὐδὲ τὸν πατέρα τιμᾷ. καὶ εἰκότως μετὰ τοῦ υἱοῦ καὶ τοῦ πατρὸς τὸν ζυγὸν ἀποπέμπονται· ἐμοὶ δὲ δοκεῖ τοῖς ἐξ ἐθνῶν πιστεύσασιν παρ' ἄλλων αὐτὸ παράγγελμα ταῦτα λέγειν· διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν τῶν διεστηκότων ἐθνῶν καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν τῶν παρανόμων ἰουδαίων· καὶ ἀράμενοι ἐφ' ἡμᾶς, τὸν χρηστὸν τοῦ κυρίου ζυγόν. αὐτοῦ γάρ ἐστιν ἡ φωνή· λάβετε τὸν ζυγόν μου ἐφ' ὑμᾶς· ὅτι ὁ ζυγός μου χρηστός. καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι· καὶ αὐτὸς δὲ ὁ νόμος. ζυγὸς ὑπὸ τῶν θείων ἀποστόλων προσηγορεύθη· ὁ γὰρ θεσπέσιος πέτρος περὶ τούτου φησὶν ἐν ταῖς πράξεσιν· τί πειράζετε τὸν θεὸν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν. ὅν, οὔτε οἱ πατέρες ἡμῶν. οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι· ἀλλὰ διὰ τῆς χάριτος τοῦ κυρίου ἰησοῦ πιστεύομεν σωθῆναι. καθ' ὃν τρόπον

MAGYAR
TUDOMÁNYOS AKADÉMIA
KÖNYVTÁRA

κἀκεῖνοι· τούτοις ἔοικεν τὰ προφητικὰ ῥήματα· διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν:— **Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς:**

Ὁ γὰρ ὑπὲρ πάντων προσενεχθεὶς καὶ θανάτῳ παραδοθεὶς ὁμοούσιος ὤν· καὶ τὰ πάντα περιέχων· κενὰς αὐτῶν καὶ ματαίας δείκνυσι τὰς σκευωρίας· καὶ ὁ τούτου δὲ πατὴρ καὶ τῶν ἁπάντων δεσπότης, τὴν ἀξίαν αὐτοῖς ἐξοίσει δίκην· **Τότε γάρ φησι λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ· καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς:—**

Καὶ τούτων δὲ τῶν ῥημάτων τὴν ἑρμηνείαν διδάσκει τῶν πραγμάτων τὸ τέλος· στρατιαὶ γὰρ αὐτοῖς ἐπιστᾶσαι ῥωμαϊκαί, τήν τε πόλιν ἐπόρθησαν· καὶ ἐνέπρησαν τὸν νεών· καὶ αὐτῶν, τοὺς μὲν πλείστους θανάτῳ παρέδωκεν μέν· τοὺς δὲ τὴν σφαγὴν ἐκφυγόντας, ἐξανδραποδίσασαι, δουλεύειν παρέδωκεν· ἐπιστῆσαι δὲ προσήκει τὸν νοῦν· ὡς δύο προσώπων ἐφεξῆς μέμνηται· καὶ πρότερον μὲν κυρίου καὶ χριστοῦ· κατὰ τοῦ κυρίου γὰρ ἔφη καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ· εἶτα καὶ κατοικοῦντος ἐν οὐρανοῖς, καὶ κυρίου· ὁ κατοικῶν γὰρ ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοῖς, καὶ ὁ κύριος ἐκμυκτηριεῖ αὐτούς· καὶ αὖθις δὲ τὸ αὐτὸ διετήρησεν σχῆμα:— **Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ· καὶ ἐνταῦθα δὲ στίξαι προσήκει· καὶ τότε ἐπαγαγεῖν ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ· διαγγέλλων τὸ πρόσταγμα κυρίου:—**

Οὐ γὰρ τοῦ Σιωνίου ὄρους βασιλεὺς μόνου· ἀλλὰ ὁρατῶν καὶ ἀοράτων καὶ πάσης ἁπλῶς κτίσεως· ἐπὶ δὲ τοῦ Σιὼν ὄρους καὶ τῆς Ἰουδαίας· τὴν θείαν αὐτοῦ διδασκαλίαν τοῖς προσιοῦσιν προσήνεγκεν· οἱ δὲ ταύτην δεξάμενοι, μετωχέτευσαν ἐς ἅπασαν τὴν οἰκουμένην τὰ νάματα· τοῖς θείοις αὐτοῦ πεισθέντες προστάγμασιν· πορευθέντες γάρ φησι μαθητεύσατε πάντα τὰ ἔθνη· τὸ δὲ ἐγὼ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἀνθρωπίνως λέγει·

ραν ταύτην ἐποιήσαντο κατὰ τοῦ σρς μελέτην. καὶ μάρτυς ἡ τῶν ἱερῶν εὐαγγελίων ἱστορία διδάσκουσα· ὡς ἐξελθόντες οἱ φαρισαῖοι συμβούλιον ἔλαβον ὅπως αὐτὸν ἀπολέσωσιν· καὶ ὁ καϊάφας βοῶν συμφέρει ἵνα εἷς ἄνος ἀποθάνῃ καὶ μὴ ὅλον τὸ ἔθνος ἀπόληται. τὸ δὲ ἐβρύαξαν. ὁ μὲν ἀκύλας, ἐθορυβήθησαν. ὁ δὲ σύμμαχος κυκᾶ, ἡρμηνεύκασιν. τούτω δὲ τῷ τῶν ἐθνῶν προσώπω πρὸς κείμενον. ὑποβάλλει νοεῖν ὡς ἰουδαίων τῷ πιλάτω· τὸν ιν οἱόν τινα τύραννον προσαγαγόντων. καὶ δεῖν αὐτὸν ἀναιρεθῆναι πολλάκις εἰρηκότων. ἄκων ἐκεῖνος τὴν θανατηφόρον ἐξενήνοχεν ψῆφον. δείσας ὡς εἰκὸς ἀπολῦσαι, μήτις ἐντεῦθεν γραφὴ κατ᾽αὐτοῦ τυρευθῇ. ὡς γὰρ ὁ μακάριος ἔφη λουκᾶς· κατήγορον αὐτοῦ λέγοντες, τοῦτον εὕρομεν διαστρέφοντα τὸ ἔθνος καὶ κωλύοντα καίσαρι φόρον μὴ διδόναι, λέγοντα ἑαυτὸν χν βασιλέα εἶναι:—

› Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν· καὶ ἀπορρίψωμεν
› ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν:—

Ὁ γὰρ μὴ τιμῶν φησὶν τὸν υἱόν, οὐδὲ τὸν πρα τιμᾷ. καὶ εἰκότως μετὰ τοῦ υἱοῦ καὶ τοῦ πρς τὸν ζυγὸν ἀποπέμπονται. ἐμοὶ δὲ δοκεῖ τοῖς πεπιστευκόσιν παρεγγυᾶν τὸ πανάγιον πνα ταῦτα λέγειν· διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν τῶν δυσσεβῶν ἐθνῶν καὶ ἀπορρίψωμεν ἀφ᾽ ἡμῶν τὸν ζυγὸν αὐτῶν τῶν παρανόμων ἰουδαίων. καὶ λάβωμεν ἐφ᾽ ἡμᾶς. τὸν χρηστὸν τοῦ κυ ζυγόν. αὐτοῦ γάρ ἐστιν ἡ φωνή· λάβετε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς ὅτι ὁ ζυγός μου χρηστός. καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι. καὶ αὐτὸς δὲ ὁ νόμος. ζυγὸς ὑπὸ τῶν θείων ἀποστόλων προσηγορεύθη· ὁ γὰρ θεσπέσιος πέτρος περὶ τούτου φησὶν ἐν ταῖς πράξεσιν· τί πειράζετε τὸν θν ἐπιθεῖναι ζυγὸν ἐπὶ τὸν τράχηλον τῶν μαθητῶν, ὅν, οὔτε οἱ πρες ἡμῶν, οὔτε ἡμεῖς ἰσχύσαμεν βαστάσαι. ἀλλ᾽ ἢ διὰ τῆς χάριτος τοῦ κυ ιυ πιστεύομεν σωθῆναι, κ. τρόπον

MAGYAR TUDOMÁNYOS AKADÉMIA KÖNYVTÁRA

κακεῖνοι. τούτοις ἔοικεν τὰ προφητικὰ ῥήματα· διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν. καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν:~ ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτοὺς καὶ ὁ κς ἐκμυκτηριεῖ αὐτους:

*Ὁ γὰρ ὑπ' αὐτῶν προσηλωθεὶς καὶ θανάτῳ παραδοθεὶς ἐν ουνοῖς ὤν. καὶ τὰ πάντα περιέχων. κενὰς αὐτῶν καὶ ματαίας δείκνυσι τὰς βουλάς. καὶ ὁ τούτου δὲ πηρ καὶ τῶν ἁπάντων δεσπότης, τὴν ἀξίαν αὐτοὺς εἰσπράξεται δίκην. τότε γάρ φησὶν λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ. καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς:—

Καὶ τούτων δὲ τῶν ῥημάτων τὴν ἑρμηνείαν. διδάσκει ~~τῶν~~ τῶν πραγμάτων τὸ τέλος· στρατιὰ γὰρ αὐτοῖς ἐπιστᾶσα ῥωμαϊκή. τήν τε πόλιν ἐπόρθησεν. καὶ ἐνέπρησεν τὸν νεών. καὶ αὐτῶν. τοὺς μὲν πλείστους θανάτῳ παρέπεμψεν. τοὺς δὲ τὴν σφαγὴν ἐκφυγόντας. ἐξανδραποδίσασα, δουλείᾳ παρέδωκεν. ἐπιστῆσαι δὲ προσήκει τὸν νοῦν. ὡς δύο προσώπων ἐφεξῆς μέμνηται. καὶ πρῶτον μὲν κυ καὶ χυ. κατὰ τοῦ κυ γὰρ ἔφη καὶ κατὰ τοῦ χυ αὐτοῦ. εἶτα κατοικοῦντος ἐν ουνοῖς καὶ κυ. ὁ κατοικῶν γὰρ ἐν ουνοῖς ἐκγελάσεται αὐτούς. καὶ ὁ κς ἐκμυκτηριεῖ αὐτούς. καὶ αὖθις δὲ τὸ αὐτὸ διετήρησεν σχῆμα:—

Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. καὶ ἐνταῦθα δὲ στίξαι προσήκει. καὶ τότε ἐπαγαγεῖν ἐπὶ σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ. διαγγέλων τὸ πρόσταγμα κυ:—

Οὐ γὰρ τοῦ σιὼν ὄρους βασιλεύει μόνου. ἀλλ' ὁρατῶν καὶ ἀοράτων καὶ πάσης τῆς κτίσεως. ἐπὶ δὲ τοῦ σιὼν ὄρους καὶ τῆς ἰουδαίας. τὴν θείαν αὐτοῦ διδασκαλίαν τοῖς προσιοῦσιν προσήνεγκεν. οἱ δέ γε ταύτην δεξάμενοι μετωχέτευσαν εἰς ἅπασαν τὴν οἰκουμένην τὰ νάματα τοῖς θείοις αὐτοῦ πεισθέντες προστάγμασιν· πορευθέντες γάρ φη μαθητεύσατε πάντα τὰ ἔθνη. τὸ δὲ ἐγὼ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ, ἀνινως λέγει.